ἐστι· τὸ ἄρα οὗ ἕνεκα ἀγαθόν· ὅτι δὲ τὸ ἐφετὸν ἀγαθόν ἐστι, δῆλον ἐκ τοῦ ἐφίεσθαι ἡμᾶς αὐτοφυῶς τοῦ ἀγαθοῦ, ὅθεν καὶ ὁ Ἀριστοτέλης ἐπαινεῖ τοὺς λέγοντας ἀγαθὸν εἶναι, οὗ πάντα ἐφίεται. πόθεν τοίνυν δῆλον, ὅτι τὸ οὗ ἕνεκα ἐφετόν ἐστι καὶ ἀγαθόν· πάλιν διαίρεσιν λαμβάνει τοιαύτην· τῶν πραγμάτων τὰ μέν εἰσιν ἀγαθὰ ὡς εὐδαιμονία καὶ πλοῦτος δέ, ὡς ὁ Πῶλος οἴεται, τὰ δὲ κακὰ ὡς τὸ ληστεύειν καὶ τὰ τοιαῦτα, τὰ δὲ μέσα, καὶ τὰ μέσα ἢ ποτὲ μὲν καλά εἰσι, ποτὲ δὲ κακά. δύναται γὰρ καὶ ἐπ' ἀγαθῷ τις πλεῦσαι θέλων εὔξασθαι ἤ τι ἕτερον εὐσεβῆσαι, δύναται καὶ ἐπὶ κακῷ ἵνα ληστεύσῃ καὶ ἀπατήσῃ· ἢ οὐδὲ κακὰ οὐδὲ ἀγαθὰ ὡς τὸ ξύλον καὶ ὁ λίθος καὶ τὰ τοιαῦτα· αὐτὰ γὰρ καθ' ἑαυτὰ οὔτε ἀγαθά εἰσιν οὔτε κακά, ἀλλὰ πρὸς τὸν κεχρημένον· ἰστέον τοίνυν, ὅτι τὸ κακὸν ἐπὶ τῶν πράξεων θεωρεῖται· τὸ γὰρ μὴ ἔχον πρᾶξιν οὔτε ἀγαθὸν ἂν κληθείη οὔτε κακόν· δεῖ τοίνυν εἰδέναι, ὅτι τὸ μὲν ἀγαθὸν οὗ ἕνεκά ἐστι, δι' αὐτὸ γὰρ καὶ ἀναγινώσκομεν καὶ ἐκμανθάνομεν καὶ ἀποδημοῦμεν καὶ πᾶν ὁτιοῦν ποιοῦμεν· τὸ δὲ κακὸν οὐδὲ ἕνεκά του οὐδὲ οὗ ἕνεκα· ὅτι μὲν οὖν οὐκ ἔστιν οὗ ἕνεκα δῆλον· μόνως γὰρ τὸ ἀγαθὸν τοιοῦτον· ὅτι δὲ οὐδὲ ἕνεκά του ἐντεῦθέν ἐστιν ἑλεῖν· τὸ ἕνεκά του δι' ἄλλο παραλαμβάνεται, τὸ δὲ κακὸν οὐ μόνον οὐ φέρει ἐπὶ τὸ ἀγαθόν, ἀλλὰ καὶ πολὺ διίστησιν, ὥστε οὐδέ ἐστι τὸ κακόν· τὰ δὲ μέσα ἀμφότερα δέχονται, οἷον τὸ πλεῖν καὶ τὰ τοιαῦτα, ὥστε τὸ οὗ ἕνεκα ἀγαθόν ἐστιν. εἰ δὲ τοῦτο, βουλόμεθα δὲ πάντα τὰ ὧν ἕνεκα, ὁ πράττων ἄρα ἃ βούλεται ἀγαθός ἐστιν.

**3** τούτων οὕτως εἰρημένων δεῖ συμπεράναι, ὅτι οἱ ῥήτορες μεγάλα οὐ δύνανται· ἔστι τοίνυν πρῶτος μὲν συλλογισμὸς οὗτος· οἱ ῥήτορες ἀποκτειννύασί τε καὶ χρήματα ἀφαιροῦνται καὶ προπηλακίζουσιν· οἱ ταῦτα ποιοῦντες πρᾶγμα ποιοῦσιν, ὃ

---

3 Aristot. eth. Nic. I 1094 a 2

---

| | | |
|---|---|---|
| 5 mg. ἀγαθόν | εὐδαιμονία | |
| ποτὲ ἀγαθὸν ποτὲ δ' οὔ | πλοῦς | |
| οὐδέτερον | ξύλον ἢ τι τοιοῦτο | |
| κακόν | ληστεία | 28 mg. α' |

---

8 καὶ τὰ μέσα] om. mg. add. M[c] 25 ἃ] supr. lin. add. M[c]
28 ἀποκτειννύασι ex ἀποκτιννύασι corr. M